Ἴων καὶ τί μοι λέξεις;
Ξοῦθος πατὴρ σός εἰμι καὶ σὺ παῖς ἐμός.
Ἴων τίς λέγει τάδε;
Ξοῦθος ὅς σ' ἔθρεψεν ὄντα Λοξίας ἐμόν.
Ἴων μαρτυρεῖς σαυτῷ.
Ξοῦθος τὰ τοῦ θεοῦ γ' ἐκμαθὼν χρηστήρια.
Ἴων ἐσφάλης αἴνιγμ' ἀκούσας.
Ξοῦθος οὐκ ἄρ' ὀρθ' ἀκούομεν.
Ἴων ὁ δὲ λόγος τίς ἐστι Φοίβου;
Ξοῦθος τὸν συναντήσαντά μοι --
Ἴων τίνα συνάντησιν;
Ξοῦθος δόμων τῶνδ' ἐξιόντι τοῦ θεοῦ
Ἴων συμφορᾶς τίνος κυρῆσαι;
Ξοῦθος παῖδ' ἐμὸν πεφυκέναι.
Ἴων σὸν γεγῶτ', ἢ δῶρον ἄλλως;
Ξοῦθος δῶρον, ὄντα δ' ἐξ ἐμοῦ.
Ἴων πρῶτα δῆτ' ἐμοὶ ξυνάπτεις πόδα σόν;
Ξοῦθος οὐκ ἄλλῳ, τέκνον.
Ἴων ἡ τύχη πόθεν ποθ' ἥκει;
Ξοῦθος δύο μίαν θαυμάζομεν.
Ἴων ἔα. τίνος δέ σοι πέφυκα μητρός;
Ξοῦθος οὐκ ἔχω φράσαι.
Ἴων οὐδὲ Φοῖβος εἶπε;
Ξοῦθος τερφθεὶς τοῦτο, κεῖν' οὐκ ἠρόμην.
Ἴων γῆς ἄρ' ἐκπέφυκα μητρός.
Ξοῦθος οὐ πέδον τίκτει τέκνα.
Ἴων πῶς ἂν οὖν εἴην σός;
Ξοῦθος οὐκ οἶδ', ἀναφέρω δ' ἐς τὸν θεόν.

Euripides Ion 529-543
1A 1 1998